δι τὸ κ τ ι

πλάτος ποιοῦν τὴν ΓΜ· ῥητὴ ἄρα καὶ ἡ ΓΜ καὶ σύμμετρος τῆι ΓΔ μήκει· καὶ ἐπεὶ ὅλον τὸ ΓΛ ἴσον ἐστὶ τοῖς ἀπὸ τῶν ΑΗ ΗΒ· ὧν τὸ ΓΕ ἴσον ἐστὶ τῶι ἀπὸ τῆς ΑΒ· λοιπὸν ἄρα τὸ ΖΛ ἴσον ἐστὶ τῶι δὶς ὑπὸ τῶν ΑΗ ΗΒ· τετμήσθω οὖν ἡ ΖΜ δίχα κατὰ τὸ Ν σημεῖον καὶ ἤχθω διὰ τοῦ Ν ὁποτέρᾳ τῶν ΓΔ ΜΛ παράλληλος ἡ ΝΞ· ἑκάτερον ἄρα τῶν ΖΞ ΝΛ ἴσον ἐστὶ τῶι ὑπὸ τῶν ΑΗ ΗΒ· καὶ ἐπεὶ τὸ δὶς ὑπὸ τῶν ΑΗ ΗΒ μέσον ἐστὶ καί ἐστιν ἴσον τῶι ΖΛ· καὶ τὸ ΖΛ ἄρα μέσον ἐστί· καὶ παρὰ ῥητὴν

δι τὸ κβ τ ι

τὴν ΖΕ παράκειται πλάτος ποιοῦν τὴν ΖΜ· ῥητὴ ἄρα ἐστὶν ἡ ΖΜ καὶ ἀσύμμετρος τῆι ΓΔ μήκει· καὶ ἐπεὶ τὸ μὲν συγκείμενον ἐκ τῶν ἀπὸ τῶν ΑΗ ΗΒ ῥητόν ἐστι· τὸ δὲ δὶς ὑπὸ τῶν ΑΗ ΗΒ μέσον· ἀσύμμετρα ἄρα ἐστὶ τὰ ἀπὸ τῶν ΑΗ ΗΒ τῶι δὶς ὑπὸ τῶν ΑΗ ΗΒ· ἴσον δέ ἐστι τὸ ΓΛ τοῖς ἀπὸ τῶν ΑΗ ΗΒ· τῶι δὲ δὶς ὑπὸ τῶν ΑΗ ΗΒ ἴσον τὸ ΖΛ· ἀσύμμετρον ἄρα ἐστὶ τὸ ΓΛ τῶι ΖΛ· ὡς δὲ τὸ ΓΛ πρὸς τὸ ΖΛ· οὕτως ἐστὶν ἡ ΓΜ πρὸς τὴν ΜΖ· ἀσύμμετρος ἄρα ἐστὶν ἡ ΓΜ τῆι ΜΖ μήκει· καί εἰσιν ἀμφότεραι ῥηταί· αἱ ἄρα ΓΜ ΜΖ ῥηταί εἰσι δυνάμει μόνον σύμμετροι· ἀποτομὴ ἄρα ἐστὶν ἡ ΓΖ· λέγω δὴ ὅτι καὶ τετάρτη· ἐπεὶ γὰρ αἱ ΑΗ ΗΒ δυνάμει εἰσὶν ἀσύμμετροι· ἀσύμμετρον ἄρα καὶ τὸ ἀπὸ τῆς ΑΗ τῶι ἀπὸ τῆς ΗΒ· καί ἐστι τῶι μὲν ἀπὸ τῆς ΑΗ ἴσον τὸ ΓΘ· τῶι δὲ ἀπὸ τῆς ΗΒ ἴσον τὸ ΚΛ· ἀσύμμετρον ἄρα ἐστὶ τὸ ΓΘ τῶι ΚΛ· ὡς δὲ τὸ ΓΘ πρὸς τὸ ΚΛ· οὕτως ἐστὶν ἡ ΓΚ πρὸς τὴν ΚΜ· ἀσύμμετρος ἄρα ἐστὶν ἡ ΓΚ τῆι ΚΜ

μήκει· καὶ ἐπεὶ τῶν ἀπὸ τῶν ΑΗ ΗΒ μέσον ἀνάλογόν ἐστι τὸ ὑπὸ τῶν ΑΗ ΗΒ· καί ἐστιν ἴσον τὸ μὲν ἀπὸ τῆς ΑΗ τῶι ΓΘ· τὸ δὲ ἀπὸ τῆς ΗΒ τῶι ΚΛ· τὸ δὲ ὑπὸ τῶν ΑΗ ΗΒ τῶι ΝΛ· τῶν ἄρα ΓΘ ΚΛ μέσον ἀνάλογόν ἐστι τὸ ΝΛ· ἔστιν ἄρα ὡς τὸ ΓΘ πρὸς τὸ ΝΛ ⁒ οὕτως ἐστὶν ἡ ΓΚ πρὸς τὴν ΝΜ· ὡς δὲ τὸ ΝΛ πρὸς τὸ ΚΛ· οὕτως ἐστὶν ἡ ΝΜ πρὸς τὴν ΚΜ· ὡς ἄρα ἡ ΓΚ πρὸς τὴν ΜΝ· οὕτως ἐστὶν ἡ ΜΝ πρὸς τὴν ΚΜ· τὸ ἄρα ὑπὸ τῶν ΓΚ ΚΜ ἴσον ἐστὶ τῶι ἀπὸ τῆς ΜΝ τουτέστι τῶι τετάρτωι μέρει τοῦ ἀπὸ τῆς ΖΜ· ἐπεὶ οὖν δύο εὐθεῖαι ἄνισοί εἰσιν αἱ ΓΜ ΜΖ καὶ τῶι τετάρτωι μέρει τοῦ ἀπὸ τῆς ΜΖ ἴσον παρὰ τὴν ΓΜ παραβέβληται ἐλλεῖπον εἴδει τετραγώνωι τὸ ὑπὸ τῶν ΓΚ ΚΜ καὶ εἰς ἀσύμμετρα αὐτὴν διαιρεῖ· ἡ ἄρα ΓΜ τῆς ΜΖ μεῖζον δύναται τῶι ἀπὸ ἀσυμμέτρου ἑαυτῆι· καὶ ἐστὶν ὅλη ἡ ΓΜ σύμμετρος μήκει τῆι ἐκκειμένηι ῥητῆι τῆι ΓΔ· ἡ ἄρα ΓΖ ἀποτομή ἐστι τετάρτη· τὸ ἄρα ἀπὸ ἐλάσσονος παρὰ ῥητὴν παραβαλλόμενον πλάτος ποιεῖ ἀποτομὴν τετάρτην :~

⁒ οὕτ τὸ ΝΛ πρ τὸ ΚΛ· ἀλλ' ὡς μὲν τὸ ΓΘ πρ τὸ ΝΛ.

δι τὸ ιη τ ι

δι τὸ πε



Τὸ ἀπὸ τῆς μετὰ ῥητοῦ μέσον τὸ ὅλον ποιούσης παρὰ ῥητὴν παραβαλλόμενον πλάτος ποιεῖ ἀποτομὴν

BIBLIOTHECA BODLEIANA